www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΑΪΣΙΟΥ
# ΤΟΥ ΒΕΛΙΤΣΚΟΦΣΚΥ

(ψαλλομένη τῇ 15ῃ Νοεμβρίου)

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ΑΓΙΟΝ ΟΡΟΣ ΑΘΩΣ *

* 1997 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΤΗι ΙΕ' ΝΟΕΜΒΡΙΟΥ ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΙΣΙΟΥ ΤΟΥ ΒΕΛΙΤΣΚΟΦΣΚΥ

* * *

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ἔσχες γονικὴν τὴν ἀρετὴν, ὡς κληρονομίαν ἀρίστην, Πάτερ Παΐσιε, ἔνθα ᾠκοδόμησας, λαμπρᾶς ἀσκήσεως, χαριέστατον οἴκημα, αἰσθήσει καὶ πόθῳ, τῆς Θεοῦ μιμήσεως, ἧς περ ἐπέτυχες, πάντα ὑποτάσσων τοῦ βίου, τὰ συμβεβηκότα σωφρόνως, πρὸς τὴν τοῦ Κυρίου εὐαρέστησιν.

Γνῶσιν θεϊκὴν ἐπιποθῶν, ἅπασαν ἀπέῤῥιψας Πάτερ, γηΐνων μάθησιν, οὐδαμῶς συμβάλλουσαν, πρὸς ἀνακαὶνισιν, τῆς καρδίας καὶ ἔδραμες, διψῶν τοῦ Δεσπότου, μαθεῖν τὰ μυστήρια, τὰ ἐπουράνια, ὅθεν μοναζόντων ὑπῆλθες, τὸν ζυγόν ἐν ᾧ ἀνεδείχθης, ἄριστος διδάσκαλος θεόληπτε.

Τόπους διαμείβων συνεχῶς, ὡς περιστερὰ τοῖς ποσί σου, ζητῶν ἀνάπαυσιν, Ἄθωνα κατέλαβες τὸν ἁγιώτατον, καὶ ἀσκήσει ἐκάθηρας, ψυχῆς τὰς δυνάμεις, πρὸς τὴν ἐγκατοίκησιν τοῦ θείου Πνεύματος, Ὅπερ σέ ἀνέδειξε μέγαν, μοναστῶν ἀλείπτην τῇ πράξει, μεμαθητευμένον τὰ ἀπόῤῥητα.

Ὅτε ἐργασία νηπτική, καὶ ὁ τῆς καθάρσεως τρόπος, Πάτερ, ἠγνόηνται, τότε σε ἀνέδειξε, φωστῆρα ἔκλαμπρον, καὶ διδάσκαλον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἔμπειρον, Χριστὸς τῇ Βλαχίᾳ στῆσαι ἅπερ πέπτωκεν, ἐξ ἐπηρείας ἐχθροῦ, ὅθεν σου τὴν μνήμην τιμῶντες, ᾄσμασι δοξάζομεν θείοις, τὴν Τριάδα πάντιμε Παΐσιε.

Δόξα. Ἦχος ὁ αὐτός.

Ὁ ζητῶν εὑρίσκει τὴν ὁδὸν τῆς θεώσεως, καὶ τῷ κρούοντι ἀνοίγεται τῆς ἀρετῆς τὰ θησαυρίσματα. Οὕτω Πάτερ χριστομίμητε, καὶ σὺ ἐπλούτησας πᾶσαν τῆς θεογνωσίας ἀρετήν, ἐμπόνως ζητήσας καὶ μανικῶς ἐκκαθαίρων ἀπὸ σοῦ τοῦ παλαιοῦ Ἀδάμ τὰ ἐκβλαστήματα. Διὸ ποιμὴν ψυχῶν ἀνεδείχθης ἀπλανέστατος, καὶ τῆς νηπτικῆς ἐργασίας διδάσκαλος ὑπερφυής, ὥσπερ ὁ παλαιὸς συνώνυμός σοι Παΐσιος, μεθ᾽ οὗ ἱκέτευε Πάτερ, τὸν ἐλεήμονα Θεόν, πλουσίως παρασχεῖν, καὶ ἡμῖν τῆς φιλανθρωπίας τὸ ἔλεος.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια.
Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε χαρμονικῶς, τὴν μνήμην Παϊσίου, τιμήσωμεν φωστὴρ γὰρ, ἐδείχθη μοναζόντων, λόγοις καὶ ἔργοις μέγιστος.

Στίχ. *Τίμιος ἐναντίον Κυρίου ...*
Πᾶσάν σου τὴν ζωήν, εἰς γνῶσιν τοῦ Κυρίου, Παΐσιε ἐμφρόνως, ἀνέθηκας διό σε, πηγῆς ζωῆς ἀνέδειξε.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον ...*
Χαίρει τῶν μοναστῶν, χορεία τῇ σῇ μνήμῃ, Παΐσιε θεόφρον, τὴν κλῆσιν τοῦ Κυρίου, ἐκ σοῦ γὰρ μεμαθήτευται.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα, ὁ αὐτός.

Ψυχῆς τὸ τριμερές, εἰς ἓν ἑνώσας Πάτερ, Τριάδος τῇ δυνάμει, Αὐτὴν τῇ βιοτῇ σου, Παΐσιε ἐδόξασας.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἕτερος, ὦ Ἁγνή, καὶ οὗτος τοῦ σοῦ Κλήρου, καρπὸς ἐφάνη θεῖος, Παΐσιος ὁ μέγας, καθηγητὴς τῆς νήψεως.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῆς νήψεως ἔχοντες καθηγητήν σε σοφόν, ἐξ ὧν Πάτερ ἔπαθες τὰ θεῖα γνόντα σαφῶς, Παΐσιε κράζομεν· ἔνθες τὴν τοῦ Κυρίου, ἀδιάλειπτον μνήμην, πάντων τῶν σὲ τιμώντων, ταῖς καρδίαις καὶ δίδου, τὴν φλόγα τῆς ζέσεως τηρεῖν ἀμείωτον.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. στ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια

Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Μικροῤῥῶσος τὴν γέννησιν, τὴν φθαρτὴν Πάτερ πέφυκας, μέγας ὅμως ὕστερον στῦλος γέγονας, τῆς Ἐκκλησίας Παΐσιε, αὐξήσας τὸ τάλαντον, τὸ δοθέν σοι ἐκ Θεοῦ, Ὃν γνησίως ἐπόθησας καὶ ἐζήτησας, καὶ εὑρὼν μεταδίδως τοῖς αἰτοῦσιν, ἀδιάλειπτον κατέχειν, Αὐτοῦ τὴν μνήμην τὴν πάντερπνον.

Ἱερὸν δῶρον δέδοσαι, σοῖς γονεῦσι τρισόλβιε, τούτων τὸ πολύτεκνον καὶ καλλίτεκνον, σοῖς ἀναδείξας ἀθλήμασι, καὶ ὥσπερ τι κόσμημα, πολυτίμητον φανείς, εἰ καὶ ὕστερος πέφυκας ἀδελφότητος, ὡς Δαβίδ ὁ προφήτης καὶ ὁ μέγας, ἐν πατράσι καὶ ὁσίοις, συνώνυμός σοι Παΐσιος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὀρφανῶν σε ἀνείληφεν, ὁ προστάτης Παΐσιε, ὅτε ὁ γεννήτωρ σου ἀπεδήμησε, καὶ εἰς ὁδὸν καθωδήγησε, ζωῆς τῆς ἀμείνονος, παρθενίας σοι ἐνθείς, τὸ γλυκὺ βέλος Ὅσιε, ὅθεν ἤκουσας, τῆς φωνῆς τῆς λεγούσης, δεῦτε πρός με, οἱ πεινῶντες μου τὴν θέαν, καὶ ἐνεπλήσθης ὑπέρμετρα.

Ὥσπερ στόμα ἐπλάτυνας, σὴν καρδίαν μακάριε, τῷ Θεῷ καὶ εἴληφας πλάτος γνώσεως, ὅτε ζυγόν τὸν χρηστότατον, ὑπῆλθες τοῦ σχήματος, Πλάτων ἐπονομασθείς, καὶ πυρὶ ἐκκαιόμενος, θείου ἔρωτος, ὡς τοῦ Ἄισματος νύμφη ἀνεβόας· ὅπου ἄρνας σου ποιμαίνεις, ἐκεῖ Σωτήρ με ὁδήγησον.

Ἡ Κυρία καὶ Δέσποινα, τῆς φωνῆς ἐνωτίσθη σου, ὅθεν σε ἀνείληφεν εἰς Περίβολον, τὸν ἱερὸν τὸν τοῦ Ἄθωνος, καὶ πᾶσαν ἐπλήρωσε, σῆς καρδίας ἀγαθήν, παναοίδιμε αἴτησιν, ἀναδείξασα, νηπτικῆς ἐργασίας θεῖον μύστην, καὶ διδάσκαλον ἐξ ὧν περ, πείρᾳ καὶ πόνοις μεμάθηκας.

Τὸ γλυκὺ νέκταρ ἔπιες, τῶν Πατέρων Παΐσιε, τούτων τοῖς συγγράμμασιν ὥσπερ μέλισσα, ἐγκύπτων τρόπους ἀσκήσεως, μαθεῖν οὓς εἰργάσαντο, καὶ ἀνῆλθον εἰς Θεοῦ, θεωρίαν καὶ ἕνωσιν, ὅθεν δέδειξαι, ὁδηγὸς ἐμπειρότατος τρισμάκαρ, μοναστῶν τε καὶ μιγάδων, Μολδοβλαχίας τὸ καύχημα.

### Δόξα. Ἦχος πλ. β'.

Τῶν παλαιῶν Πατέρων ἐπιποθήσας τὸν βίον, Παΐσιε μακάριε, καὶ τοῦτον μιμησάμενος, γέγονας οἶκος πεπληρωμένος τῶν θείων ἀρετῶν. Τῇ δέ νηπτικῇ θεωρίᾳ, τοῦ Παραδείσου τὰ μυστήρια μυηθείς, ὡς σοφὸς γραμματεὺς τῆς Βασιλείας, λόγοις καὶ βίβλοις θεογράφοις, τῇ Ἐκκλησίᾳ ὡς προῖκα αἰώνιον, τὴν πεῖράν σου παρέδωκας. Ὅθεν τῇ γλυκύτητι τῆς κλήσεως τοῦ Κυρίου

εὐφραινόμενοι, σὲ μακαρίζομεν ὡς διδάσκαλον γενόμενον σωτηρίας, δεόμενοι ἐκτενῶς· ἔλλαμψον τὰς διανοίας ἡμῶν τῷ θείῳ φωτὶ τοῦ Ἰησοῦ καὶ συνεισάγαγε ἡμᾶς, εἰς τὸν Νυμφῶνα τὸν οὐράνιον.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας
καὶ τὰ ὁσιακὰ ἀναγνώσματα.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσίον ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθός αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται. Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία. Καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ διόμελα
Ἦχος α'.

Ἀξίως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ πολιτευσάμενος, Ὅσιε Παΐσιε, καὶ διὰ πασῶν τῶν ἀρετῶν φιλοθέως διοδεύσας, γέγονας ἔμπνους καὶ θεοχάρακτος εἰκὼν τοῦ Ἁγίου Πνεύματος. Πόνους ἐπὶ πόνοις προστιθέμενος, καὶ τὴν γνῶσιν τοῦ Κυρίου ἐπιμελῶς διώκων, ἐνεπλήσθης τῶν θείων δωρεῶν, καὶ ὡς πηγὴ ζωηρῶν θησαυρισμάτων, ἐξ ὧν πείρᾳ μεμάθηκας, ὑποφήτης τῶν οὐρανίων μυστηρίων ἄριστος ἐφάνης. Διὸ Πάτερ πρέσβευε, σωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Ἦχος β'.

Τὸν Θεὸν ἀγαπήσας ὁλικῶς, οὐκ ἐπαύσω Πάτερ ἕως ἐσχάτης σου πνοῆς, τὰ δικαιώματα Αὐτοῦ ἐπιστημόνως ἐρευνᾶν, καὶ δι᾽ αὐτῶν τοῖς ἀρχαίοις Ὁσίοις τὸν βίον σου ἰσάζειν. Νηστείᾳ ἰσοβίῳ, ἀγρυπνίᾳ διηνεκεῖ, νήψει ἐπιπόνῳ, ἀπεμάξω ὡς εἰκὸς τὰ τούτων κατορθώματα. Ὅθεν ὁ Θεός φωστῆρα σε καὶ διδάσκαλον ἀναδείκνυσι τῆς Ἐκκλησίας, καὶ ἀνακαινιστὴν τῆς νοερᾶς ἐργασίας. Ἣν ἱκέτευε δεόμεθα Παΐσιε θεῖε, πάσῃ δυνάμει διώκειν καὶ ἡμᾶς, ὅπως δι᾽ αὐτῆς τὸν Χριστὸν κτησώμεθα.

Ἦχος γ'.

Ὡς υἱὸς τῷ Κυρίῳ ἐδούλευσας, διὸ καὶ ὡς τοιοῦτος ἐκληρονόμησας, τῆς πατρικῆς δωρεᾶς τὰ μυστήρια. Στόμα πρὸς στόμα ὁμιλήσας Τούτῳ Πάτερ, ἐμυήθης ἀπλανῶς, τὴν ὁδόν τῆς θεώσεως. Ἣν καὶ ἐκ περιουσίας τοῖς μαθηταῖς σου κατέλιπες, μεθ᾽ ὧν ἀξιώσειας καὶ ἡμᾶς, Παΐσιε μέγιστε, μετόχους γενέσθαι ταύτης, διὰ γενικῆς ἀνακαινώσεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος δ'.

Ἔχεις Ὃν ἐδίωξας ἐκ παιδὸς θεόφρον, ἔχεις καὶ μάλα ἀσφαλῶς. Ὡς γὰρ κηρῷ εὐπλάστῳ γέγραφε τῇ ψυχῇ σου, τῶν ἐπουρανίων μυστηρίων τὰ φυσίζωα Αὐτοῦ μαθήματα, οὐ καλάμῳ ὀξεῖ, ἀλλὰ τῇ πορείᾳ τοῦ Πνεύματος· καὶ ἀνεκφοιτήτως χαρισάμενός σοι Τούτου τὰς δωρεάς, ὡς ποταμόν σε πεπλήρωκε τῶν ζωηῤῥύτων ὑδάτων. Οἷς κατάψυξον καὶ ἡμᾶς Παΐσιε μακάριε, τῇ ἁμαρτίᾳ κατατηκομένους, καὶ ζώωσον μυστικῶς, ἵνα γεραίρωμεν τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ.α'.

Ὡς τῆς νοερᾶς ἐργασίας διδάσκαλον θεόσοφον, καὶ τῆς προσευχῆς ἀπλανῆ ἑρμηνέα, ὕμνοις σε τιμῶμεν Παΐσιε. Οὐ γὰρ ἔδωκας ὕπνον τοῖς βλεφάροις σου καὶ τοῖς κροτάφοις σου ἀνάπαυσιν, ἀδιαλείπτως τὸν Κύριον στεναγμοῖς ἀλαλήτοις ἐπικαλούμενος. Ὅθεν καθαρθεὶς ἐφωτίσθης, καὶ φωτισθεὶς ἐδίδαξας τοῖς προσφιλεστάτοις σου τέκνοις, ἐν Ἄθωνί τε καὶ Βλαχίᾳ, καταλεπτῶς ἃ μεμάθηκας. Μεθ᾽ ὧν καὶ ἡμᾶς Πάτερ Ὅσιε, δίδαξον τῆς προσευχῆς τὴν ἀνθρωποσωτήριον πρᾶξιν, καὶ ἀξίωσον εὑρεῖν σαῖς πρεσβείαις τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Μακαρίζομέν σε ...

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

Στιχηρὰ προσόμοια. Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ ἐκ παιδὸς τὸν Θεόν, Πάτερ, ποθήσας καὶ εὑρών δι᾽ ἀσκήσεως, Ὃν κρύψας ἐν τῇ καρδίᾳ, ἥν περ καθάρας λαμπρῶς, φωτεινόν κειμήλιον ἀποδέδειξαι, διὸ καὶ ἠξίωσαι, ἀναβρύειν νοήματα, ἐπουρανίων, θεαμάτων τρισόλβιε, ἃ παρέθηκας, ὥσπερ

ἔδεσμα ἄριστον, πᾶσι τοῖς σοὶ προστρέχουσι, καὶ βίον τὸν ἔνθεον, ἐκμελετῶσι καὶ τοῦτον, ἔχουσι θεῖον ὑπόδειγμα, πρὸς γνῶσιν Κυρίου, ὦ Παΐσιε παμμάκαρ, τοῦ Σὲ δοξάσαντος.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον ...*

Χαίροις, τῶν μοναστῶν τὰς ψυχάς, καταφωτίζων ὥσπερ λύχνος θεόφωτος, ταῖς θείαις διδασκαλίαις, καὶ ὑποθήκαις σοφαῖς, μεθιστῶν προσκαίρων πρὸς οὐράνιον ἀγάπην καὶ ἔρωτα, ἐξωθῶν τὸν συνάπτοντα, τούτους Κυρίῳ, ἐργασίᾳ τῇ κρείττονι, ὡς μεμάθηκας, πρακτικῶς ὁσιώτατε. Ὅθεν σε ἱκετεύομεν, παράσχου πρεσβείαις σου, τὸν τῆς καθάρσεως δρόμον, θεοφιλῶς περαιώσασθαι, καὶ φθάσαι εἰς δόξαν τῆς μελλούσης Βασιλείας, πάτερ Παΐσιε.

Στίχ. *Καυχήσονται ὅσιοι ἐν δόξῃ ....*

Χαίροις, τῆς νοερᾶς προσευχῆς, ἄριστος μύστης καὶ διδάσκαλος ἔνθεος, Παΐσιε θεοφόρε, ἡσυχαστῶν παλαιῶν, ὁ ἀνακαινίσας κατορθώματα, καὶ πλήθη πρὸς ἄσκησιν, μοναστῶν καὶ μιγάδων τε, ὑποκινήσας, ὡς ταξίαρχος κράτιστος, τῆς ἀθλήσεως, δι᾽ ἧς ἄνθρωποι ἄγγελοι, γίνονται εἰ καὶ σώματι, γηΐνῳ περίκεινται, καὶ τῷ φωτὶ τῷ ἀπλέτῳ, Μεταμορφώσεως φαίνονται. Αὐτοῦ ἀξιώσαις, καὶ ἡμᾶς ταῖς πατρικαῖς σου, εὐχαῖς Μακάριε.

Δόξα. Ἦχος πλ.δ'.

Τῷ θείῳ ἔρωτι τῷ Δεσπότῃ ὅλος συγκραθείς, Πάτερ Παΐσιε, ἐμυήθης παρ᾽ Αὐτοῦ τὰ ἀπόρρητα τῶν οὐρανίων μυστηρίων, ἅπερ τῇ φιλαδελφίᾳ ἀεὶ νυττόμενος, πᾶσι παρέθηκας ἀφθόνως ὡς νάματα ζωτικὰ καὶ σωτήρια. Καὶ ὁδηγὸς γενόμενος ἐργασίας τῆς νηπτικῆς, πλήθη δι᾽ αὐτῆς προσήγαγες, ὡς δῶρον εὐχαριστίας τῷ Κυρίῳ, Ὧι καὶ ἡμᾶς συνάρμοσον, οἷς τρόποις φιλοτέκνοις οἶσθα Ὅσιε, εἰς δόξαν αἰώνιον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ νῦν. Ἀνύμφευτε Παρθένε ...
Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῆς νήψεως ἔχοντες καθηγητήν σε σοφόν, ἐξ ὧν Πάτερ ἔπαθες τὰ θεῖα γνόντα σαφῶς, Παΐσιε κράζομεν· ἔνθες τὴν τοῦ Κυρίου, ἀδιάλειπτον μνήμην, πάντων τῶν σὲ τιμώντων, ταῖς καρδίαις καὶ δίδου, τὴν φλόγα τῆς ζέσεως τηρεῖν ἀμείωτον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α.' Τὸν τάφον σου Σωτήρ.

Αἰσθήσεις καθαράς, τῷ Θεῷ παραστήσας, διὰ τῆς νηπτικῆς, ἐργασίας κατέστης, δεκάχορδον ψαλτήριον, καὶ κιθάρα τοῦ Πνεύματος, ὑπηχῶν ἀεί, σοῖς μαθηταῖς γρηγορεῖτε, καὶ ἐργάζεσθε, τὴν ἀδιάλειπτον κλῆσιν, Χριστοῦ τὴν σωτήριον.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον, ὅμοιον.

Εἰς Ὄρος τὸ σεπτόν, τὸν σὸν Κλῆρον Παρθένε, Παΐσιος ἐλθών, δι᾽ ἀσκήσεως πάσης, τῷ κόσμῳ ἐσταύρωται, καὶ Χριστῷ ἐξωμοίωται, τὴν ταπείνωσιν, ἐπενδυθεὶς τοῦ Υἱοῦ σου, ὅθεν γέγονε, ταύτης ἰσόβιος κτήτωρ, διὸ καὶ δεδόξασται.

Μετὰ τὴν β'στιχολογίαν. Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Πᾶσαν ἔπλησας, Μονὴν καὶ χώραν, γλυκυτάταις σου διδασκαλίαις, κοινοβιάρχα βρυορῆτορ Παΐσιε, τοῦ οὐρανίου ἐμπλησθεὶς ῥείθρου γέγονας, πηγὴ ζωῆς τοῖς εἰς σὲ μετὰ πίστεως, προσπελάζουσι, διὸ πλήθη ἤγαγες, Θεῷ ὥσπερ θυσίαν εὐάρεστον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Κατευφραίνεις μου, ψυχὴν Παρθένε, μνημονεύουσαν, τὰ μεγαλεῖα, ἅ σοι Χριστός ὡς Μητρὶ ἐχαρίσατο, καὶ τοῖς πιστοῖς καταφύγιον δέδωκεν, ἐν πειρασμοῖς καὶ δεινοῖς σὴν ἐπίκλησιν, ὅθεν Δέσποινα, μὴ παύσῃ ἀεί παρέχουσα, κἀμοὶ τῷ παναθλίῳ τὴν σκέπην σου.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν καρδίαν ἐποίησας οὐρανόν, ἐνθρονίσας τῇ νήψει τὸν Ἰησοῦν, ὡς ταύτης ἡνίοχον, κατευθύνοντα πᾶσάν σου, πρὸς Αὐτὸν καὶ σκέψιν καὶ λόγον καὶ νόημα, καὶ χαρίζοντά σοι, τῆς Χάριτος πλήρωμα. Ὅθεν ἀνεδείχθης, ἐξ ὧν ἔμαθες πείρᾳ, διδάσκαλος ἄριστος, μοναζόντων Παΐσιε, Σεραφεὶμ τούτους τάγματα, ποιήσας ἐργασίᾳ εὐχῆς, ἣν κατέχειν ἡμᾶς Πάτερ πρέσβευε, τοὺς γεραίροντας πόθῳ, τὴν πάνσεπτον μνήμην σου.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Ἐξιστᾷ πᾶσαν ἔννοιαν τῶν βροτῶν, ἡ ἐκ σοῦ Θεοτόκε ὑπερφυής, τοῦ Λόγου κατάβασις καὶ φιλάνθρωπος σάρκωσις, ὅπως πάντας ἀγάγῃ εἰς πρῶτον ἀξίωμα, καὶ ἐνδύσῃ ξένως, στολὴν τῆς θεώσεως, ἥν περ ἁμαρτίαις, καταχραίνων ὁ τάλας, θερμῶς ἱκετεύω σε, στῆσον Μῆτερ πρεσβείαις σου, ἐκ κρημνοῦ ἀπωλείας με, ὅπως ἐκ καρδίας κἀγώ, σοὶ προσφέρω τὴν αἴνεσιν, ὁ εἰς σὲ τὰς ἐλπίδας, καὶ μόνον στηρίξας μου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, Ἐκ νεότητός μου.

Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

**Εὐαγγέλιον** Ὁσιακόν (τῇ ε΄Δεκεμβρίου). Ὁ Ν΄. Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχηρόν Ἰδιόμελον. Ἦχος πλ.β΄.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ...*

Ὡς τῆς ζωῆς εὑρὼν τὸν θησαυρόν, καὶ τοῦτον Πάτερ ἄσυλον κατέχων, ἔνθες ταῖς ψυχαῖς τῶν ὑμνούντων σε, Παΐσιε Ὅσιε, εἰς αἰώνιον θησαύρισμα.

Εἶτα, Σῶσον ὁ Θεός τὸν λαόν σου κλπ.

**Κανὼν τοῦ Ὁσίου ὁ παρών, οὗ ἡ ἀκροστιχίς:**

*"Πᾶσι, Πάτερ, δίδασκε Ἰησοῦ θείαν κλῆσιν.Ἀ(θανάσιος)".*

Ὠιδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Πατρόθεν, τῆς εὐσεβείας γνώρισμα, ἔχων Παΐσιε, τὴν ἀρετὴν ἐπηύξησας διό, τὸν Θεόν καθικέτευε, ὅπως ὑμνοῦντι βίον σου, Χάριν μοι δῷ Ἁγίου Πνεύματος.

Ἀγάπης, διπλῆς ἐγένου οἴκημα, Πάτερ φιλόθεε, ἐκ τῆς ψυχῆς τὸν Πλάστην ἀγαπῶν, τῆς ἀγάπης τὸ πλήρωμα, καὶ τὸν πλησίον ἔπειτα, ὡς τοῦ Θεοῦ εἰκόνα φέροντα.

Σπουδάζων, ἀπὸ παιδὸς μακάριε, εὐαρεστεῖν τῷ Θεῷ, τῆς κοσμικῆς σοφίας τὴν σπουδήν, ὡς μηδὲν προστιθεῖσάν σοι, ἀπέπτυσας καὶ ἔδραμες, μαθεῖν σοφίαν τῆς ἀσκήσεως.

Θεοτοκίον



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἰγνύας, τὰς κλονουμένας στήριξον, ψυχῆς μου Δέσποινα, καὶ δίδαξόν με τρίβον τῆς ζωῆς, ἀκλινῶς βηματίζειν ἀεί, καὶ ὅλην ἔχειν δύναμιν, πρὸς τὴν τοῦ Θεοῦ εὐαρέστησιν.

Ὠιδὴ γʹ. Εὐφραίνεται ἐπί σοί.

Ποθήσας χρηστὸν ζυγόν, τόπους πολλούς Πάτερ ἤμειψας, ἕως οὗ πόδες σου ἔστησαν, εἰς τὸν περιβόητον Ἄθωνα.

Ἀσκήσας παντοειδῶς, ἐρημικὸν βίον Ὅσιε, τὸν Ἰησοῦν μόνον ἔσχηκας, καὶ περιουσίαν καὶ κλῆρόν σου.

Τοῖς τρόποις ὁμοιωθείς, τῷ παλαιῷ Παϊσίῳ εἴληφας, ὡς κλῆσιν Πάτερ ὁμώνυμον, καὶ τὴν χάριν πᾶσαν τοῦ Πνεύματος.

Θεοτοκίον

Εὐφραίνεται ἐπὶ σοί, θεοχαρίτωτε Ἁγνὴ Δέσποινα, πᾶσα ψυχὴ χριστοφίλητος, ὅτι διὰ σοῦ Χάρις ἔρχεται.

Κάθισμα. Ἦχος δʹ. Ὁ ὑψωθείς.

Εἰς ἄκρον Πάτερ ἀνελθὼν ἀπαθείας, πλήρης χαρίτων τοῦ Θεοῦ ἀνεφάνης, καὶ τῆς εὐχῆς ἀκάματος ἐργάτης σοφέ, πλήθη δὲ συνήγαγες, ὡς ἀγγέλων χορείας, Ὅσιε Παΐσιε, οὐρανώσας καρδίας, διὸ Χριστός ἐδείκνυ σοι συχνῶς, τὴν θείαν δόξαν, φωτὶ περιλάμπων σε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ἁμαρτιῶν μου τὰς οὐλάς Θεοτόκε, τῇ μητρικῇ σου θεραπεύσαις πρεσβείᾳ, πρὸς τὸν Χριστὸν γλυκύτατον Υἱόν σου Ἁγνή, Ὅνπερ καὶ παρώργισα, καὶ οὐ παύομαι πάλιν, καθ᾿

ἑκάστην πράξεσι, παροργίζειν παντοίαις, ἐξ ὧν με ῥῦσαι Μῆτερ ἀγαθή, καὶ ἐκ τῆς πλάνης, ἐχθροῦ διαφύλαττε.

Ὠιδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ῥαθυμία οὐ κατέλαβε θεῖε Πάτερ, ἐν νυκτὶ γὰρ καὶ ἡμέρᾳ σε ἀγρυπνοῦντα, εἶχεν ὡς ἀντίπαλον μέγαν, εὐχῇ συντόνῳ, τῆς ψυχῆς σου τὸν οἶκον δειμάμενον.

Δέει θείῳ τό ὕψος ἱερωσύνης, κατ᾽ ἀρχάς μὲν ἀπέφυγες Πάτερ, ἀλλὰ ὑπείκων πατράσιν ἐφάνης εἶτα, λειτουργῶν ὡς ἐνσώματος ἄγγελος.

Ἱερὰν συνεκρότησας συνοδίαν, ἐκμιμούμενος σύλλογον Ἀποστόλων, καὶ ἐκδιδάσκων κάθαρσιν νήψει καρδίας, μαθηταῖς σου θεοφόρε Παΐσιε.

Θεοτοκίον

Διὰ σπλάγχνα ἀῤῥήτου φιλανθρωπίας, ὁ Δεσπότης σεσάρκωται Θεομῆτορ, ἐκ σῶν αἱμάτων ἁγνῶν Ὃν δυσώπει, φιλανθρωπίας ἡμᾶς ἱλεώσασθαι.

Ὠιδὴ ε'. Σύ, Κύριέ μου, φῶς.

Ἄνθη τὰ νοητά, τῶν Πατέρων τὰς βίβλους, ὥσπερ μέλισσα φίλεργός τις, ἐπεσκέπτου καρδίας πόθῳ, Παΐσιε θεόσοφε.

Σώματι καὶ ψυχῇ ἀκριβῶς παρεικάσας, τὸ κοινόβιον καὶ τὴν θείαν, ὑπακοὴν ἄριστα μάκαρ, φοιτηταῖς σου ἐδίδασκες Ὅσιε.

Κτῆμά σου Ἰησοῦν, μόνον ἔχων πτωχείᾳ, τὸν σὸν βίον διῆλθες Πάτερ, κατὰ μίμησιν τοῦ Κυρίου, τοῦ πτωχεύσαντος ἄκρᾳ χρηστότητι.

Θεοτοκίον

Ἔχει πολλὰς ὁδούς, ἡ ἐν Χριστῷ σωτηρίᾳ, ἐμὲ δὲ τῶν μοναζόντων, συνταξάμενον Κόρη, τῷ χορῷ ἱκεσίαις σου στήριξον.

Ὠιδὴ ϛ'. Θύσω σοι μετὰ φωνῆς.

Ἴδιον, τῶν πλησίον τὸ κέρδος ἡγούμενος, συνήγαγες ἐκ ποικίλων, ἐθνῶν γλωσσῶν τε τοὺς μαθητάς σου, Ἐκκλησίας, παγγενὲς ἐκμιμούμενος σύστημα.

Ἥλιος, ὁ νοητὸς σῇ καρδίᾳ ἐπέλαμψεν, δεικνύς σε ἥλιον ἄλλον, ὅτε Πάτερ Σκήτην τὴν τοῦ προφήτου, τοῦ Θεσβίτου Ἠλιοὺ σὺν τοῖς τέκνοις σου ᾤκησας.

Σίμωνος, ἡ Πέτρα ἔσχε σε Πάτερ ἡγούμενον, πρὸς ὥραν θείᾳ προνοίᾳ, ὅτι ἔλιπες ταύτην καὶ προσωρμίσθης, Μολδαβίᾳ, ἐκδιδάσκων, τῆς εὐχῆς Ἰησοῦ τὴν ἐξάσκησιν.

Θεοτοκίον

Ὅτε με, τῷ ἀδεκάστῳ βήματι Κύριος, Θεοκυῆτορ παραστήσῃ, μὴ ἐάσῃς ὅλως γεγυμνωμένον, ἀλλά σπεῦσον, καὶ ἔνδυσόν με, τῇ σεπτῇ μεσιτείᾳ σου.

Κοντάκιον.
Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῆς εὐχῆς καὶ νήψεως, μέγαν ἐργάτην,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σὲ εἰδότες Ὅσιε, καὶ μοναστῶν καθηγητήν,
ὕμνοις τιμῶμεν Παΐσιε,
καὶ ἀνυμνοῦμεν, τὸν σὲ μεγαλύναντα.

**Ὁ Οἶκος**
Τὴν τῆς καθάρσεως ὁδὸν εὑρὼν Πάτερ ἐπέβης,
εἰς ὕψος θεωρίας καὶ ἐννοιῶν πνευματικῶν·
ἄγγελος μᾶλλον ἢ ἄνθρωπος φανεὶς
ἐδίδασκες πᾶσι νῆψιν καὶ ἐργασίαν εὐκτικήν,
ἔν τε τῷ Ἄθωνος ὄρει καὶ τῇ Μολδαβίᾳ·
τῆς δὲ εἰρήνης τοῦ Χριστοῦ δειχθεὶς τερπνὸν κατοικητήριον
ψυχὰς εἰρήνευσας πολλάς,
ὡς δῶρα λογικὰ προσενεγκὼν τῷ Εἰρηνάρχῃ Θεῷ,
αἵτινες ἐν εὐγνωμοσύνῃ ἀνυμνοῦσι, Παΐσιε, Τοῦτον
τὸν σὲ μεγαλύναντα.

*Τὸ Συναξάριον*

**Τῇ ιε' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Παϊσίου, τοῦ Βελιτσκόφσκυ, μεγάλου Κοινοβιάρχου καὶ διδασκάλου τῆς ἐν Χριστῷ νοερᾶς ἐργασίας καὶ νηπτικῆς προσευχῆς ἀναδειχθέντος, ἔν τε τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος καὶ τῇ Μολδαβίᾳ.**

Στίχοι
*Ἀδιαλείπτου κλήσεως Χριστοῦ ἐργάτα,*
*Νῦν ὑμνεῖς , Παΐσιε, Θεὸν ἀπαύστως.*
*Θεῷ ἄνω σύνεστι Παΐσιος Χριστευχέτης.*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ὠιδὴ ζ'. Ἀβραμιαῖοι ποτέ.

Ὕπνος βλεφάροις τοῖς σοῖς, οὐκ ἔσχε Πάτερ τόπον, ὡς ἀγρυπνοῦντος καθ᾽ ἑκάστην σου, καὶ Κρίσιν τὴν μέλλουσαν, ὥσπερ παροῦσαν, ὁρῶντος σου ἐν φόβῳ.

Θλίψεις τὸν τόνον ψυχῆς, οὐδόλως ἀπεμείωσαν, ἀλλὰ εἰς ἄνδρα τέλειον, σὲ ἤγαγον Ὅσιε, ἐν χαρᾷ ὑμνοῦντα, Θεὸν τὸν τῶν Πατέρων.

Ἔμπορος ὥσπερ σοφός, καιρόν σου ἐξηγόραζες, φωτὶ Χριστοῦ λαμπόμενος, καὶ ἤθροισας Χάριτος, πλοῦτον ἐν ψυχῇ σου, Πατέρων ὡραιότης.

### Θεοτοκίον

Ἰδοὺ ἐπαίτης Ἁγνή, ἐνώπιόν σου πίπτω, ψιχία δὸς τῆς εὐσπλαγχνίας σου, ἐν δάκρυσι κράζοντι, Χαῖρε ἡ Μήτηρ, Θεοῦ τοῦ τῶν Πατέρων.

## Ὠιδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Ἀδιάλειπτος μνήμη κατέλαβε, Ἰησοῦ τὴν ψυχήν σου Παΐσιε, καὶ τὴν καρδίαν ἔφλεξεν ἡ ἀγάπη ἡ θεία, δι᾽ ἧς ἀνῆλθες, εἰς οὐράνιον ὕψος χριστόληπτε.

Νοῦν τηρήσας θεόφρον Παΐσιε, ἀμιγῆ κοσμικῶν ὑποθέσεων, τοῦτον λαμπρὸν ἀνέδειξας τῆς Ἁγίας Τριάδος, τέμενος Πάτερ, καὶ πηγὴν θεοπέμπτων ὁράσεων.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καθ᾽ ἡμέραν μετάνοιαν ἔβαλες, ἐπιλήσμων γινόμενος Ὅσιε, κατορθωμάτων ὄπισθεν καὶ ὡς Παῦλος τοῖς πρόσσω, ἔτεινας πόδας, εἰς ἐκτέλεσιν νόμου Κυρίου σου.

Θεοτοκίον

Λῦσον Κόρη σειρὰς τῶν κριμάτων μου, παντεχνήμονι τρόπῳ ἀγάπης σου, καὶ τῶν παθῶν ἀνώτερον, τὸν ταλαίπωρον δεῖξον, ὅπως ὑμνῶ σου, εὐσπλαγχνίας τὸ πέλαγος Δέσποινα.

Ὠιδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἤιρθης εἰς Θεοῦ θεωρίαν, καὶ ἔγνως βάθος μυστηρίων, τῇ σῇ ταπεινώσει παμμάκαρ, διό σε μέγας φωστὴρ γεγένησαι, πᾶσι τοῖς προσιοῦσι σοι, μετ᾽ ἀγαθότητος καὶ πίστεως.

Στήλην φωτεινήν σε ἑώρων, οἱ μαθηταί σου θεῖε Πάτερ, ὅτε εἰς εὐχὴν ἀρεμβάστως, σαὐτὸν ἐδίδως καὶ θείαν μέθεξιν, διὸ ἐκ σοῦ λαμβάνοντες, φῶς τρίτα φῶτα ἀπεδείκνυντο.

Ἴθι ὡς φιλότεκνος Πάτερ, παραγενοῦ τοῖς ὑμνηταῖς σου, καὶ ὡς ἐπιστέλλων τὸ πάλαι, πλήρη εἰρήνης θεῖα μηνύματα, σὲ δυσωποῦμεν δὸς καὶ νῦν, ἐπιστηρίζοντα ψυχάς ἡμῶν.

Νῦν ὡς ᾽Αβραὰμ ἔνθα μένεις, στῆσον σκηνὰς τοῖς σὲ τιμῶσι, καὶ τὴν Παναγίαν Τριάδα, δεξιωθῆναι ὁμοῦ ἀξίωσον, προευτρεπίζων νοῦν ἡμῶν, τῇ θείᾳ νήψει ὦ Παΐσιε.

Θεοτοκίον

Ἅπερ ἐκ νεότητος Κόρη, ἀφρόνως πέπραχα δυσώπει, τὸν Κριτὴν καὶ θεῖον Δεσπότην, ἀφῆσαι πάντα μοι ἁμαρτήματα, καὶ Βασιλείας ἄξιον, τῇ μετανοίᾳ καταστῆσαί με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐξαποστειλάριον. Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀδιαλείπτου κλήσεως, Ἰησοῦ τὸν ἐργάτην, καὶ μοναστῶν καλλώπισμα, ἀρετῶν τε παντοίων, τὸ σκήνωμα τὸ θεόπνουν, τῶν Πατέρων τοὺς τρόπους, ζηλώσαντα ἀσκήσεως, καὶ διδάσκαλον μέγαν, καρδιακῆς φυλακῆς Παΐσιον, εὐφημοῦμεν, τοῦ Ἄθωνος τὸν τρόφιμον, καὶ Ῥουμάνων φωστῆρα.

Θεοτοκίον, ὅμοιον.

Χωρὶς Χριστοῦ ὁ βίος μου, ματαιότης Παρθένε, ὑπάρχει καὶ τὰ ἔργα μου, ματαιότητος πλήρη, διὸ ἐκ βάθους βοῶ σοι, ποίησον θεῖον οἶκον, ψυχῇ μου ἐγκαινίζουσα, τὴν χαρμόσυνον μνήμην, Τούτου Σεμνή, ὥς ποτε Παΐσιον Θεομῆτορ, θεόγλυφον ἀνέδειξας, ἀδριάντα εὐχαῖς σου.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Στιχηρὰ προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ὡς ἐραστὴν τοῦ Κυρίου, ἀνευφημοῦμέν σε, Παΐσιε θεόφρον, ἐκ παιδὸς γὰρ ἐζήτεις, ποιεῖν Αὐτοῦ καὶ μόνον τὰς ἐντολάς, ὅθεν Πάτερ ἠξίωσαι, ἐν ἀκριβείᾳ τελέσαι δρόμον τὸν σόν, καὶ λαβεῖν ὅπερ ἐπόθησας.

Ὅσον σαὐτὸν ἐταπείνους, τοσοῦτον Ὅσιε, ἐδόξαζε Θεός σε, καὶ ἐπλήρου χαρίτων, ἐν τρόμῳ γὰρ καὶ φόβῳ τὰς δωρεάς, ἐκδεχόμενος Πνεύματος, καὶ γεωργῶν ἐν σοφίᾳ ἀγρόν ψυχῆς, ἑκατὸν ἐκαρποφόρησας.

Ὥσπερ χρυσὸς ἐπυρώθης, τῷ θείῳ ἔρωτι, διὸ καὶ οἱ σοὶ λόγοι, τὰς καρδίας χρυσοῦσι, Παΐσιε τρισμάκαρ, ὁ νοῦν χρυσοῦν,

τῇ εὐχῇ ἀναδείξας σου, καὶ μαθητῶν τὰς χορείας Σεραφεικά, καταστήσας ἄλλα τὰγματα.

Τῶν πάλαι Πάτερ Πατέρων, ζηλῶν ἐζήλωκας, τοὺς βίους καὶ τοὺς λόγους, διὸ γέγονας τούτων, θεόπνους ὀξυγράφος, καὶ μιμητής, ὅθεν πλήθη ἐφώτισας, Μολδοβλαχίας διδάσκαλε καὶ φωστήρ, νηπτικῷ φωτί Παΐσιε.

Δόξα. Ἦχος πλ. α'.

Τῇ μυστικῇ βρώσει τῆς ἀληθινῆς Ἀμπέλου, ψυχήν σου πάτερ Παΐσιε ἥνδρισας· ὅλος γὰρ σταφυλὴ πλήρης χυμῶν τῆς Χάριτος γενόμενος, τῇ ἀσκητικῇ σου ἀγωγῇ καταθλιβείς, οἶνον εὔοσμον ζωῆς μενούσης παρήγαγες, καταμεθύων τὰς καρδίας τῶν προσιόντων σοι, τῇ διδασκαλίᾳ τῆς ἀδιαλείπτου εὐχῆς. Ἐν ᾗ ἡμᾶς ἀξίωσον, Πατέρων ἰσοστάσιε, εἰς χεῖρας Κυρίου τὰς ψυχὰς παρατιθέσθαι, καὶ τυχεῖν τῆς εὐωχίας τῶν καθαιρόντων ἑαυτούς, τῇ ἐπικλήσει τοῦ γλυκυτάτου Αὐτοῦ ὀνόματος.

Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία, καὶ τὰ λοιπὰ ὡς συνήθως.

*Μεγαλυνάρια*

Τῆς ἀδιαλείπτου σε προσευχῆς, ἐργάτην καὶ μύστην, ἐγνωκότες Πάτερ σοφέ, αἰτοῦμεν δοθῆναι, εὐχαῖς σου ἡμῖν πᾶσι, Παΐσιε τὴν χάριν, ταύτης καὶ δύναμιν.

Χαίροις ἡσυχίας τῆς νηπτικῆς, τίμιε ἐργάτα, καὶ διδάσκαλε τῆς εὐχῆς, Ἰησοῦ τρισμάκαρ, Παΐσιε καὶ βίου, ἀγγελικοῦ ἡγέτα, καὶ μύστα ἄριστε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ζῆλον ἔχων πάτερ τοῦ Ἠλιού, Σκήτην τούτου ἔσχες, ἐργαστήριον προσευχῆς, ἣν διαφυλάττοις, εὐχαῖς ταῖς πατρικαῖς σου, πρὸς τὸν γλυκὺν Νυμφίον, θεοφιλέστατε.

Στίχοι

*Νοῦν μου σκιρτῶντα ὡς πῶλον τ᾽ ἀτακτοῦντα,*
*Χριστοῦ τῇ μνήμῃ δάμασον, Χριστευχέτα.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ